ἀνταπέδωκεν Εζεκιας, ἀλλὰ ὑψώθη ἡ καρδία αὐτοῦ· καὶ ἐγένετο ἐπ᾽
αὐτὸν ὀργὴ καὶ ἐπὶ Ιουδαν καὶ Ιερουσαλημ. [26]καὶ ἐταπεινώθη Εζε- 26
κιας ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ καὶ οἱ κατοικοῦντες Ιερου-
σαλημ, καὶ οὐκ ἐπῆλθεν ἐπ᾽ αὐτοὺς ὀργὴ κυρίου ἐν ταῖς ἡμέραις
Εζεκιου. [27]καὶ ἐγένετο τῷ Εζεκια πλοῦτος καὶ δόξα πολλὴ σφόδρα, 27
καὶ θησαυροὺς ἐποίησεν ἑαυτῷ ἀργυρίου καὶ χρυσίου καὶ τοῦ λί-
θου τοῦ τιμίου καὶ εἰς τὰ ἀρώματα καὶ ὁπλοθήκας καὶ εἰς σκεύη
ἐπιθυμητὰ [28]καὶ πόλεις εἰς τὰ γενήματα σίτου καὶ ἐλαίου καὶ οἴνου 28
καὶ φάτνας παντὸς κτήνους καὶ μάνδρας εἰς τὰ ποίμνια [29]καὶ πό- 29
λεις, ἃς ᾠκοδόμησεν αὐτῷ, καὶ ἀποσκευὴν προβάτων καὶ βοῶν εἰς
πλῆθος, ὅτι ἔδωκεν αὐτῷ κύριος ἀποσκευὴν πολλὴν σφόδρα. [30]αὐ- 30
τὸς Εζεκιας ἐνέφραξεν τὴν ἔξοδον τοῦ ὕδατος Γιων τὸ ἄνω καὶ
κατηύθυνεν αὐτὰ κάτω πρὸς λίβα τῆς πόλεως Δαυιδ· καὶ εὐοδώθη
Εζεκιας ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. [31]καὶ οὕτως τοῖς πρεσβευταῖς 31
τῶν ἀρχόντων ἀπὸ Βαβυλῶνος τοῖς ἀποσταλεῖσιν πρὸς αὐτὸν πυ-
θέσθαι παρ᾽ αὐτοῦ τὸ τέρας, ὃ ἐγένετο ἐπὶ τῆς γῆς, καὶ ἐγκατέλι-
πεν αὐτὸν κύριος τοῦ πειράσαι αὐτὸν εἰδέναι τὰ ἐν τῇ καρδίᾳ
αὐτοῦ. [32]καὶ τὰ κατάλοιπα τῶν λόγων Εζεκιου καὶ τὸ ἔλεος αὐτοῦ, 32
ἰδοὺ γέγραπται ἐν τῇ προφητείᾳ Ησαιου υἱοῦ Αμως τοῦ προφήτου
καὶ ἐπὶ βιβλίου βασιλέων Ιουδα καὶ Ισραηλ. [33]καὶ ἐκοιμήθη Εζεκιας 33
μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν ἀναβάσει τάφων
υἱῶν Δαυιδ, καὶ δόξαν καὶ τιμὴν ἔδωκαν αὐτῷ ἐν τῷ θανάτῳ αὐ-
τοῦ πᾶς Ιουδα καὶ οἱ κατοικοῦντες ἐν Ιερουσαλημ· καὶ ἐβασίλευ-
σεν Μανασσης υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

[1]Ὧν δέκα δύο ἐτῶν Μανασσης ἐν τῷ βασιλεῦσαι αὐτὸν καὶ 33
πεντήκοντα πέντε ἔτη ἐβασίλευσεν ἐν Ιερουσαλημ. [2]καὶ ἐποίησεν 2
τὸ πονηρὸν ἐναντίον κυρίου ἀπὸ πάντων τῶν βδελυγμάτων τῶν
ἐθνῶν, οὓς ἐξωλέθρευσεν κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ισραηλ.
[3]καὶ ἐπέστρεψεν καὶ ᾠκοδόμησεν τὰ ὑψηλά, ἃ κατέσπασεν Εζεκιας 3
ὁ πατὴρ αὐτοῦ, καὶ ἔστησεν στήλας ταῖς Βααλιμ καὶ ἐποίησεν
ἄλση καὶ προσεκύνησεν πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ καὶ ἐδού-
λευσεν αὐτοῖς. [4]καὶ ᾠκοδόμησεν θυσιαστήρια ἐν οἴκῳ κυρίου, οὗ 4
εἶπεν κύριος Ἐν Ιερουσαλημ ἔσται τὸ ὄνομά μου εἰς τὸν αἰῶνα.
[5]καὶ ᾠκοδόμησεν θυσιαστήρια πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ ἐν 5
ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου. [6]καὶ αὐτὸς διήγαγεν τὰ τέκνα 6

25 ανταπεδωκεν] αντ > B† | ιουδαν] ν > B || 26 κυριου] θεου B† || 27 εαυτω] ε > BLp† || 28 φατνας] pr. κωμας A, pr. κωμας και Bc† || 30 γιων] σειων B || 31 πρεσβευταις] -βυτ- B* | και ult. > B† || 32 καταλοιπα] λοιπα A || 33 μανασση BA*†: item B† in 33 23, A in 33 13, sed ceteris locis ambo μανασσης, cf. Regn. IV 20 21

33 1 μαν. > A† | πεντε > AV† || 2 εναντιον] ενωπιον A || 3 ταις βααλ(ε)ιμ] τοις β. BL†: cf. 24 7 || 5 παση τη] tr. B† || 6 διηγαγεν] διηγεν A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/915 UNIVERSITÄT LEIPZIG